Ἀξιώσομεν, τοῖσιν ἵπποις βουλόμεσθ᾽ ἐπαινέσαι. A
Ἄξιοι δ᾽ εἰσ᾽ εὐλογεῖσθαι, πολλὰ γὰρ δὴ πράγματα
Ξυνδιήνεγκαν μεθ᾽ ἡμῶν, ἐσβολάς τε καὶ μάχας.
Ἀλλὰ τἀν τῇ γῇ μὲν αὐτῶν, οὐκ ἄγαν θαυμάζομεν,
Ὡς ὅτ᾽ εἰς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς, B
Πριάμενοι κώθωνας, οἱ δὲ καὶ σκόροδα, καὶ κρόμμυα,
Εἶτα τὰς κώπας λαβόντες, ὥσπερ ἡμεῖς οἱ βροτοὶ,
Ἐμβαλόντες ἀνεβρύαξαν, ἱππαπαῖ, τίς ἐμβαλεῖ;
Ληπτέον μᾶλλον, τί δρῶμεν; οὐκ ἐλᾷς ὦ Σαμφόρα;
Ἐξεπήδων τ᾽ εἰς Κόρινθον, εἶτα γ᾽ οἱ νεώτεροι
Ταῖς ὁπλαῖς ὤρυττον εὐνὰς, καὶ μετῄεσαν στρώματα. C
Ἤσθιον δὲ τοὺς παγούρους, ἀντὶ πόας Μηδικῆς,
Εἴ τις ἐξέρποι θύραζε, κἀκ βυθοῦ θηρώμενοι.
Ὥστ᾽ ἔφη Θέωρος, εἰπεῖν καρκίνον Κορίνθιον,
Δεινά γ᾽ ὦ Πόσειδον, εἰ μήτ᾽ ἐν βυθῷ δυνήσομαι,
Μήτ᾽ ἐν γῇ, μήτ᾽ ἐν θαλάττῃ διαφυγεῖν τοὺς ἱππέας. D

*Prædicare item volumus de equis, quæ pulcra nouimus.*
*Digni enim sunt, quos celebremus: nam nobiscum plurima*
*Pertulerunt, incursus, irruptiones, prælia,*
*In terra quidem non valde admiramur eos: atque vbi*
*In naues, quis traijci solent, insiluerunt: ibi*
*Militaria pocula ementes: & cæpas & allia.*
*Postea acceptis remis, vt & nos, impulêre aquas,*
*Hinnierúntque Hippapæ, quis remigabit? cùm potiùs*
*Sumendum, quid agimus? cur non agitas currum Samphora?*
*Exiluêre etiam in Corinthũ: & iuniores postea*
*Vngulis cubilia perfodêre, relictis stragulis:*
*Comedebant autẽ in naui cancros, pro gramine Medico:*
*Siqui erepserant, etiam in cauernis piscati intimis*
*Vnde apud Theorum sic loquitur cancer Corinthius:*
*Occidi ô Neptune, si neque in cauernis postea*
*Effugere potero hos equites, neque in terra, neque in mari.*

Σχόλια. Ἀξιώσομεν.] ὅτι καὶ αὐτοὶ παρακολουθήσαντες γινώσκομεν. ἐπεὶ δὲ ἀλλότρια τῆς ἱππέων φύσεως μέλλει περὶ αὐτῶν λέγειν, ἵνα θεραπεύσῃ τῆς ἐπαγγελίας τὸ ἀπίθανον, ὥσπερ αὐτοῖς συνέγνω, ταῦτά φησι περὶ αὐτῶν ἐρεῖν. Τοῖσιν ἵπποις.] ἵνα μὴ εἴπῃ τοῖς ἱππεῦσι καὶ δόξῃ χαρίζεσθαι τῷ χορῷ, ἀλλ᾽ ἵνα διὰ τῶν ἵππων ἐπαινέσῃ αὐτούς.

Bisetvs. Τοῖσιν ἵπποις] οὕτω δὲ λέγει, ὅτι κατὰ τὸν Εὐριπίδην ἐν Ἰφιγενείᾳ ἐν Αὐλίδι,
Αἰνούμενοι γὰρ οἱ ᾽γαθοὶ, τρόπον τινὰ
Μισοῦσι τοὺς αἰνοῦντας, ἐὰν αἰνῶσ᾽ ἄγαν. E

Σχόλια. Ἐσβολάς.] τὰς ἐπὶ τὴν τῶν πολεμίων χώραν ἐκάλουν εἰσβολάς. ἱππαγωγοὺς δὲ τὰς ἵππους καὶ ἄνδρας ἀγούσας ναῦς. Κώθωνας.] εἴδη ποτηρίων ἃ ἐλάμβανον οἱ στρατιῶται. τοὺς ἱππέας δὲ ἐπαινεῖν βουλόμενος ταῦτά φησιν. ἄλογον γὰρ καὶ ἀλόγοις ζώοις λογισμὸν περιτιθέναι. τοὺς δὲ Ἀθηναίους ἐπαινεῖ, ἐπεὶ ἠπειρῶται ὄντες, ἀντεποιήσαντο τῆς θαλάττης. καὶ οὐκ ἀπέτυχον τῆς προσδοκίας. διὰ δὲ τοῦ σκορόδου καὶ κρομμύου, τὴν εὐτέλειαν δείκνυσι τῶν τε ναυτικῶν καὶ στρατιωτικῶν σιτίων. ὅτι εὐτελῆ οἱ στρατιῶται ἔφερον. ἄλλως. κώθων εἶδος ἐκπώματος ὀστρακίνου. ἢ εἶδος ποτηρίου Λακωνικοῦ καὶ στρατηγικοῦ. ἐπειδὴ μεῖζον ὕδωρ ἐλάμβανον οἱ ναῦται, κώθωνας εἶχον. Ἀππιανός. ἔφερε δὲ δᾷδα συγκεκομμένην καὶ θεῖον ἐν κώθωσι. καὶ κωθωνίσαι τὸ μεθύσαι. ὡς τὸ ἐρῶν δὲ καὶ κωθωνιζόμενος ἀφ᾽ ἡμέρας. F

Bisetvs. Κώθωνας.] Ἀθήναιος ἐν τῷ ἑνδεκάτῳ τῶν δειπνοσοφιστῶν τούτων μέμνηται. Κώθων, φησὶ, λακωνικὸν ποτήριον, οὗ μνημονεύει Ξενοφῶν ἐν πρώτῳ Κύρου παιδείας. καὶ μετ᾽ ὀλίγον. Κώθων, λακωνικὸν ἔκπωμα χρησιμώτατον εἰς στρατείαν, καὶ εὐφορώτατον ἐν γυλίῳ. καὶ τὰ ἑξῆς. μνημονεύει τούτου καὶ Ἀρχίλοχος ἐν ἐλεγείοις ὡς ποτηρίου ὄντος. G
Ἀλλ᾽ ἄγε σὺν κώθωνι θοῆς διὰ σέλματα νηὸς
Φοίτα, καὶ κοίλων πώματ᾽ ἄφελκε κάδων.
Ἄγρει δ᾽ οἶνον ἐρυθρὸν ἀπὸ τρυγός. οὐδὲ γὰρ ἡμεῖς
Νήφειν ἐν φυλακῇ τῇδε δυνησόμεθα.

Σχόλια. Τίς ἐμβαλεῖ.] ἰδίως τὸ κρούειν ναυσὶν, ἐμβαλεῖν λέγουσι. φησὶν οὖν, τίς ὁ τολμήσας τοῖς ἱππόταις ἐξ ἐναντίας στῆναι. κυρίως οὖν τὸ ἐμβαλεῖν τὸ ταῖς κώπαις κροῦσαι. νῦν δὲ ἀντὶ τοῦ τοῖς ἵπποις συμβαλεῖν. τὸ δὲ ἱππαπαῖ, ἔπαιξε παρὰ τὸ ῥυππαπαῖ, εἰρηκὼς ὡς ἐπὶ ἵππων. ἔστι δὲ τὸ ῥυππαπαῖ ἐπιφώνημα ναυτικόν. ἢ ψόφου ἐστὶ μίμημα ἀπὸ τῶν κωπῶν ἀποτελουμένου. ἀνεβρύαξαν δὲ, ἀνεθορύβησαν, ἀνέκραγον. οὐκ ἐλᾷς δὲ οὐκ ἐρέττεις, οὐ κωπηλατεῖς. Ὦ Σαμφόρα.] ἰδίως καλοῦνται σαμφόραι ἵπποι ἐγκεχαραγμένοι. τὸ γὰρ σ. σημεῖον, οἱ Δωριεῖς τὸ σὰμ λέγουσιν. Ἐξεπήδων.] κυρίως τὸ ἐξεπήδων, ἐπὶ ἵππων. φησὶ δὲ ἐξώρμων. ἐναργεῖ δὲ λέξει κέχρηται δεικνὺς αὐτῶν τὴν προθυμίαν. παγούρους δὲ τοὺς παρ᾽ ἡμῖν καράβους. Ἀντὶ πόας Μηδικῆς.] τοῦ παρ᾽ ἡμῖν χόρτου. λέγεται δὲ πόα Μηδικὴ, ἀρίστη καὶ καλλίστη καὶ ἐπιτηδειοτάτη ἵπποις. ἡ αὐτὴ δὲ, τρίφυλλος λέγεται. ὅτι Μῆδοι ἐχθροὶ Ἀθηναίων καὶ ἡ τῶν Μήδων χώρα ἔφυδρος οὖσα χόρτον πολὺν ἐκφέρει. ἑκάστη δὲ βοτάνη πόα λέγεται. ἡ δὲ σμήχουσα, πόα λέγεται παρὰ Δημοσθένει καὶ Λυσίᾳ. ἄλλως. ἀντὶ λόχου Μηδικοῦ. ἐδόκει γὰρ ἡ Μηδικὴ χώρα Μηδείας τε οὖσα καὶ κάθυγρος εὔφορος εἶναι εἰς τὰς τῶν κτηνῶν τροφάς. ἐπεὶ τοῖς Ἀθηναίοις ἔθος ἦν Μήδων κρατεῖν. Εἴτις ἐξέρποι.] εἴτις προκύψειε μόνον, ἐπέμψε δὲ τῇ τροπῇ πλέον τι περὶ τῶν Ἀθηναίων φιλοτιμούμενος. οὐ γὰρ τοὺς προϊόντας φησὶ διέφθειρον συλλαμβάνοντες. ἀλλὰ καὶ τοὺς ἐν τοῖς αὐτοῖς ὄντας τοῖς βυθοῖς. ταῦτα δὲ πάντα, πρὸς τὴν ἐμπειρίαν αὐτῶν ἀποτεινόμενος τῶν περὶ τὰ ναυτικά. Θέωρος.] ὁ ποιητὴς Θέωρος ἔφη εἰπεῖν τινὰ Καρκίνον Κορίνθιον ταῦτα. ἀποδέχεται δὲ αὐτοὺς πίνοντας ἕνεκα τοῦ νικῆσαι μόνον. ὁ Θέωρος ἔγραψε Καρκίνον λέγοντα πρὸς τὸν Ποσειδῶ καὶ ἀποδυσπετοῦντα. προσκρούει εἰς τινὰ Καρκίνον. διὰ τοῦτο γὰρ καὶ τοὺς ἱπ-